33 [33]καὶ ἐκεῖ ἑωράκαμεν τοὺς γίγαντας καὶ ἦμεν ἐνώπιον αὐτῶν ὡσεὶ
ἀκρίδες, ἀλλὰ καὶ οὕτως ἦμεν ἐνώπιον αὐτῶν.
14 [1]Καὶ ἀναλαβοῦσα πᾶσα ἡ συναγωγὴ ἔδωκεν φωνήν, καὶ ἔκλαιεν
2 ὁ λαὸς ὅλην τὴν νύκτα ἐκείνην. [2]καὶ διεγόγγυζον ἐπὶ Μωυσῆν
καὶ Ααρων πάντες οἱ υἱοὶ Ισραηλ, καὶ εἶπαν πρὸς αὐτοὺς πᾶσα
ἡ συναγωγή Ὄφελον ἀπεθάνομεν ἐν γῇ Αἰγύπτῳ, ἢ ἐν τῇ ἐρήμῳ
3 ταύτῃ εἰ ἀπεθάνομεν· [3]καὶ ἵνα τί κύριος εἰσάγει ἡμᾶς εἰς τὴν γῆν
ταύτην πεσεῖν ἐν πολέμῳ; αἱ γυναῖκες ἡμῶν καὶ τὰ παιδία ἔσον-
ται εἰς διαρπαγήν· νῦν οὖν βέλτιον ἡμῖν ἐστιν ἀποστραφῆναι εἰς
4 Αἴγυπτον. [4]καὶ εἶπαν ἕτερος τῷ ἑτέρῳ Δῶμεν ἀρχηγὸν καὶ ἀπο-
5 στρέψωμεν εἰς Αἴγυπτον. [5]καὶ ἔπεσεν Μωυσῆς καὶ Ααρων ἐπὶ
6 πρόσωπον ἐναντίον πάσης συναγωγῆς υἱῶν Ισραηλ. [6]Ἰησοῦς δὲ
ὁ τοῦ Ναυη καὶ Χαλεβ ὁ τοῦ Ιεφοννη τῶν κατασκεψαμένων τὴν
7 γῆν διέρρηξαν τὰ ἱμάτια αὐτῶν [7]καὶ εἶπαν πρὸς πᾶσαν συναγω-
γὴν υἱῶν Ισραηλ λέγοντες Ἡ γῆ, ἣν κατεσκεψάμεθα αὐτήν, ἀγαθή
8 ἐστιν σφόδρα σφόδρα· [8]εἰ αἱρετίζει ἡμᾶς κύριος, εἰσάξει ἡμᾶς εἰς
τὴν γῆν ταύτην καὶ δώσει αὐτὴν ἡμῖν, γῆ ἥτις ἐστὶν ῥέουσα γάλα
9 καὶ μέλι. [9]ἀλλὰ ἀπὸ τοῦ κυρίου μὴ ἀποστάται γίνεσθε· ὑμεῖς δὲ
μὴ φοβηθῆτε τὸν λαὸν τῆς γῆς, ὅτι κατάβρωμα ἡμῖν ἐστιν· ἀφέ-
στηκεν γὰρ ὁ καιρὸς ἀπ᾽ αὐτῶν, ὁ δὲ κύριος ἐν ἡμῖν· μὴ φοβη-
10 θῆτε αὐτούς. [10]καὶ εἶπεν πᾶσα ἡ συναγωγὴ καταλιθοβολῆσαι αὐ-
τοὺς ἐν λίθοις. καὶ ἡ δόξα κυρίου ὤφθη ἐν νεφέλῃ ἐπὶ τῆς σκη-
11 νῆς τοῦ μαρτυρίου ἐν πᾶσι τοῖς υἱοῖς Ισραηλ. [11]καὶ εἶπεν κύριος
πρὸς Μωυσῆν Ἕως τίνος παροξύνει με ὁ λαὸς οὗτος καὶ ἕως
τίνος οὐ πιστεύουσίν μοι ἐν πᾶσιν τοῖς σημείοις, οἷς ἐποίησα ἐν
12 αὐτοῖς; [12]πατάξω αὐτοὺς θανάτῳ καὶ ἀπολῶ αὐτοὺς καὶ ποιήσω
σὲ καὶ τὸν οἶκον τοῦ πατρός σου εἰς ἔθνος μέγα καὶ πολὺ μᾶλ-
13 λον ἢ τοῦτο. [13]καὶ εἶπεν Μωυσῆς πρὸς κύριον Καὶ ἀκούσεται Αἴ-
γυπτος ὅτι ἀνήγαγες τῇ ἰσχύι σου τὸν λαὸν τοῦτον ἐξ αὐτῶν,
14 [14]ἀλλὰ καὶ πάντες οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς ταύτης ἀκηκόασιν
ὅτι σὺ εἶ κύριος ἐν τῷ λαῷ τούτῳ, ὅστις ὀφθαλμοῖς κατ᾽ ὀφθαλ-
μοὺς ὀπτάζῃ, κύριε, καὶ ἡ νεφέλη σου ἐφέστηκεν ἐπ᾽ αὐτῶν, καὶ
ἐν στύλῳ νεφέλης σὺ πορεύῃ πρότερος αὐτῶν τὴν ἡμέραν καὶ ἐν
15 στύλῳ πυρὸς τὴν νύκτα. [15]καὶ ἐκτρίψεις τὸν λαὸν τοῦτον ὡσεὶ
ἄνθρωπον ἕνα, καὶ ἐροῦσιν τὰ ἔθνη, ὅσοι ἀκηκόασιν τὸ ὄνομά
16 σου, λέγοντες [16]Παρὰ τὸ μὴ δύνασθαι κύριον εἰσαγαγεῖν τὸν λαὸν
τοῦτον εἰς τὴν γῆν, ἣν ὤμοσεν αὐτοῖς, κατέστρωσεν αὐτοὺς ἐν

14 1 ενεδωκεν φωνη B† || 3 παιδια] + ημων A | εσονται/εις διαρπ.] tr. A† || 8 αιρετιζει] ερεθιζει B† || 10 εν λιθοις > B*† | εν ult. > B† || 11 σημειοις] θαυμασιοις A† || 13 ανηγαγες] αν > B*† | τη] εν A || 14 οφθαλμοις] -μους A | συ πορευη] συνπορευη B* || 16 τον λαον τουτον] αυτους A